ρῶτα χρῶνται· πρόσφατον δ' ὑπάρχον ἔχει τι καὶ στυφούσης ποιότη-
τος. τὸ δ' ἄλλο ἐστὶ μηδέπω ξηρὸν ὁμοίως τοῖς ἄλλοις καρποῖς ὅσοι
χλωροὶ πλήρεις εἰσὶν ὑγρότητος ἢ μὴ πέπειρον. τὸ μέντοι λέπος αὐτοῦ
τὸ ξηρὸν καὶ ἐν ᾧ λεπτομερέστερον γίνεται καὶ ξηραντικὸν καὶ ἄδηκτον
φάρμακον. ἔστι δὲ καὶ ἕτερον ὄντι γένος καρύου μικρότερον· ὅπερ ποντικὸν
προσαγορεύεται· πλείονος μετέχον τῆς γεώδους οὐσίας ξηρᾶς· ὡς
ταῦτα καὶ στρυφνότερον ὑπάρχει τό τε φύλλον αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ φλοιὸς
φαίνεται. τὰ δ' ἄλλα παραπλήσια ὑπάρχει τῷ μεγάλῳ καρύῳ· τὸ κα-
λουμένῳ πρός τινων βασιλικῷ· προσαγορεύεται δὲ τὸ μικρὸν τοῦ-
το κάρυον ὑπὸ πολλῶν λεπτοκάρυον:· καυκαλίς

Καυκαλίς· ἔνιοι δὲ τοῦτο δαῦκον ἄγριον ὀνομάζουσιν· ἐστὶ γὰρ ὅμοιον αὐ-
τῷ καὶ κατά τε τὴν οὐσίαν καὶ κατὰ τὴν δύναμιν· θερμαίνει τε γὰρ ὡς
ἐκεῖνο καὶ ξηραίνει· καὶ οὐρεῖται· καὶ ταριχεύεται εἰς ἀπόθεσιν:·

Καρπήσιον· ὅμοιον καρπήσιον ἐστὶν ὑπάρχει τῷ ὀνομαζομένῳ φοῦ κατά
τε τὴν οὐσίαν καὶ τὴν δύναμιν· ἔστι πλέον δ' ἐστὶ λεπτομερές· διὸ καὶ
μᾶλλον ἐκείνου εἰς τὰς τῶν σπλάγχνων ἐμφράξεις· καὶ οὖρα κι-
νεῖ καὶ νεφρῶν ἐκκαθαίρει λιθιῶντας· οὐ μὴν ἔστι τοσοῦτόν γε λε-
πτομερὲς ἔστιν ὥστ' ἀντὶ κινναμώμου χρῆσθαι μὴ παρόντος· ὡς προ-
κείμενος ἔπραττον· ἄμεινον μὲν οὖν ἐστι τὸ ποντικὸν καρπήσιον τοῦ τα-
λαερτικοῦ· οὐ μὴν οὐδ' αὐτὸ πλησίον κινναμώμου τὴν δύναμιν ἀλλὰ
καὶ τῆς ἀρίστης κασσίας οὐκ ὀλίγῳ λειπόμενον· ὀνομάζεται δ' ἐκ τῶν τό(πων)
ἀπὸ τινων ὀρῶν τῆς Παμφυλίας ἐν οἷς γεννᾶται· καὶ πλεῖστον αὐ-
τῶν ἐκπορίζεται αὐτόθι:· κάγχρυς

Κάγχρυς· θερμαίνει μὲν καὶ ἐν τῇ τρίτῃ τάξει· ξηραίνει δ' ἤτοι κατὰ
τὴν δευτέραν ἐκλελυμένην ἢ τὴν τρίτην ἐπιτεταμένην· ἔστι δ' ὅπως καὶ
λεπτομερὴς ἱκανῶς· ἐξ ὧν τῆς τοιαύτης ἐστὶ φύσεως τὰ καὶ κρά-
σεως· ἐστὶ ὅμως ὡς ἔδεσμα τελέως ὀλιγότροφος ἐστὶν ἀτρόφω, ··
σχεδὸν ἔτι ἐν τοῖς τῶν ἐδεσμάτων· ἀλλ' οὖν καὶ τὴν κοιλίαν ἐπι-
ξηραίνει· ἔξωθεν δ' ἐπιτιθέμενος διὰ τὸ μὴ σφόδρα ... ἐπιτήδειος
ἐστὶ περὶ αὐτοῖς ἀδήλοις ξηραίνεσθαι δεομένοις· καὶ καταπλαττό-
μενος δὲ ξηραίνειν πέφυκεν· ἱκανῶς τοὺς ἱδρῶτας· καὶ διὰ
ταῦτα δὲ χρήσιμον γίνεται. τὸ δὲ βραχὺ καθόλου πλεονάζει.